UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Ōrigenus Tōn Eis Tas Theias Graphas Exēgētikōn Apanta Ta Ellēnisti Heuriskomena

**Origenes**

**Rothomagi, 1668**

Tomvs Vigesimvs Tertivs. Vos ex illo patre Diabolo estis, & desideria patris vestri vultis facere illius Diaboli.

urn:nbn:de:hbz:466:1-19358

Visual Library

tissimum dicenda his qui ab Ecclesiæ decretis dissident, gaudentes allegorijs, & sanationum historiam reducentibus ad curationem animæ, quam Iesus liberat ab omni morbo, & ab omni mollitie. Arbitror vero ego vocabulum, audire, positum nunc esse pro intelligere quæ dicuntur: vocabulum vero, agnoscere, pro eo qui percipiens assentitur, illustratus luce cognoscendi ea. Sane Heracleon suspicatur causam reddi, cur ipsi audire non possint Iesu sermones, neque illius dicta cognoscere

Ioh. 8. 44. per illud: *Vos ex patre Diabolo estis*, istisque verbis inquit: Quare autem non potestis audire sermonem meum? an quoniam ex patre Diabolo estis, pro eo quod est, ex essentia Diaboli? manifestans de cætero naturam ipsorum, cum prædixisset ipsos neque Abraham esse filios, haud enim odio prosequerentur illum; neque Dei, ex quo non diligebant illum. Cæterum si illud: *Vos ex patre Diabolo estis*, exposuisset, ut in superioribus exposuimus nos, & dixisset, quia adhuc ex Diabolo estis, non potestis audire sermonem meum, admisissemus etiam illius enarrationem: nunc autem aperte dicit quosdam homines esse [ ὁμοουσίους, hoc est ] ejusdem substantiæ cum Diabolo, qui alterius est substantiæ, ut existimant illius etiam sectatores, ab his, quos vocant animales, vel spirituales.

## TOMVS VIGESIMVS TERTIVS.

Ioh. 8. 44. *Vos ex illo patre Diabolo estis, & desideria patris vestri vultis facere illius Diaboli.*

Ambiguus est contextus: [ proinde quoque duplex ex eo elici potest sensus: ] alter, ut sit quasi Diabolus habeat patrem, ex quo patre (quantum ad contextum attinet) ostendantur hi esse, ad quos est sermo. Alter (qui etiam melior est) vos ex hoc patre estis, de quo prædicatur Diabolus. Atque ambiguus quidem futurus erat hic contextus, si etiam omisso primo articulo, dictum fuisset ex patre, & non ex illo patre, attamen apertius apparuisset voluntas contextus. Et quidem qui faveret credenti esse aliquem Diaboli patrem, cujus filios videatur dicere hos, ad quos est sermo, verbis quæ subjunguntur usurus est sic

Ioh. 8. 44. se habentibus: *Cum loquitur mendacium, ex proprijs loquitur, quoniam mendax est, & pater suus*: dicetque mendacium esse Diabolum, diversum vero ab hoc esse mendacij patrem: sed non recte hoc diceretur; nam magis conveniet mendacium contrario dicentis: *Ego sum veritas*: dico autem contrario Christi, cui mendax est

A μάλιστα ταῦτα προσακτέον τοῖς ἑτεροδόξοις, χαίρουσι ταῖς ἀλληγορίαις, καὶ ἀνάγουσι τὴν περὶ τῶν ἰάσεων ἱστορίαν ἐπὶ τὰς τῆς ψυχῆς θεραπείας, ἀπολυομένης ὑπὸ τοῦ Ἰησοῦ πάσης νόσου, καὶ πάσης μαλακίας· νομίζω δὲ τὸ μὲν ἀκούειν νῦν ἐπὶ τοῦ συνιέναι τάσσεσθαι τῶν λεγομένων. τὸ δὲ γινώσκειν, ἐπὶ τοῦ καταλαμβάνοντα συγκατατίθεσθαι τῷ φωτὶ τῆς περὶ τῶν λεγομένων γνώσεως * πεφωτισμένων· ὁ μέντοιγε Ἡρακλέων ὑπολαμβάνει αἰτίαν ἀποδίδο-

[* Χ. πεφωτισμένη Fort.]

B σθαι τοῦ μὴ δύνασθαι αὐτοὺς ἀκούειν * τὸν Ἰησοῦ λόγον, μηδὲ γινώσκειν αὐτοῦ τὴν λαλιὰν ἐν τῷ· ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστέ· αὐταῖς γοῦν λέξεσί φησι, διατί οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν; ἢ ὅτι ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστέ; ἀντὶ τοῦ, ἐκ τῆς οὐσίας τοῦ διαβόλου, * φανερὸν αὐτοῖς λοιπὸν τὴν φύσιν αὐτῶν, καὶ προελέγξας αὐτούς, ὅτι οὔτε τοῦ Ἀβραάμ εἰσι τέκνα, οὐ γὰρ ἂν ἐμίσουν αὐτόν, οὔτε τοῦ θεοῦ, διὰ τὸ οὐκ ἠγάπων αὐτόν. καὶ

[* Fort. τὸν Ἰησοῦ λόγον] [* Χ. φανερῶν Fort.]

C εἰ μὲν τό· ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστέ, ἐξεδέχετο, ὡς ἐν τοῖς ἀνωτέρω διηγησάμεθα, καὶ ἔλεγε διὰ τὸ ἔτι ὑμᾶς εἶναι ἐκ τοῦ διαβόλου, οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν, κἂν παρεδεξάμεθα αὐτοῦ τὴν διήγησιν· νυνὶ δὲ δῆλός ἐστιν ὁμοουσίους τινὰς τῷ διαβόλῳ λέγων ἀνθρώπους, ἑτέρας, ὡς οἴονται οἱ ἀπ' αὐτοῦ, οὐσίας τυγχάνοντι παρ' οὓς καλοῦσι ψυχικούς, ἢ πνευματικούς· ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν·

D ἀμφίβολος ἡ λέξις ἐστὶ, δηλοῦται γὰρ ἀπ' αὐτῆς ἓν μὲν, ὡς ἄρα ἔχει ὁ διάβολος πατέρα, ἐξ οὗ πατρὸς ὅσον ἐπὶ τῷ ῥητῷ ἐμφαίνονται εἶναι οὗτοι πρὸς οὓς ὁ λόγος. ἕτερον δὲ ὃ βέλτιόν ἐστιν, ὅτι ὑμεῖς ἐκ τοῦδε τοῦ πατρός ἐστε, καθ' οὗ κατηγορεῖται τό, διάβολος· ἀμφίβολον μὲν οὖν ἂν τὸ λεγόμενον, καὶ εἰ ἀφῄρητο τὸ πρότερον ἄρθρον τό, οὐ πλεῖον μᾶλλον ἀνεφαίνετο σαφέστερον τὸ βούλημα τοῦ ῥητοῦ. μέντοιγε ὁ συναγορεύων τῷ εἶναί τινα τοῦ διαβόλου πατέρα, οὗ υἱοὺς δόξει λέγειν τοὺς πρὸς οὓς ὁ λόγος ἐστὶ, χρήσεται τῷ

E ἐπιφερομένῳ ἔχοντι· ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ, ὅτι ψεύστης ἐστὶ, καὶ ὁ πατὴρ αὐτοῦ. τὸ * φησὶ ψεῦδος μὲν εἶναι τὸν διάβολον, ἄλλον δὲ παρὰ τοῦτον εἶναι τὸν τοῦ ψεύδους πατέρα· ἀλλ' οὐχ ὑγιῶς οὕτω λεχθήσεται, μᾶλλον γὰρ τὸ ψεῦδος ἐφαρμόσει τῷ ἐναντίῳ τοῦ εἰπόντος· ἐγώ εἰμι ἡ ἀλήθεια· λέγω δὲ τῷ ἀντιχρίστῳ, οὗ ψεύστης ἐστὶν

[* Fort. φησί]

ὁ πατὴρ ὁ διάβολος ὤν· ἀλλ' εἰκός τινα A προσκόψειν τῷ ψεῦδος εἶναι τὸν ἀντίχριστον, οὐκ ἔτι ψεκτὸν ἐσόμενον, ἐὰν τῇ ὑποστάσει ἕτερον μηδὲν ψεῦδος ᾖ· πρὸς ὃν παραθέμενος τό· ἀπώλεια ἐγένου, καὶ οὐχ ὑπάρξεις εἰς τὸν αἰῶνα, εἰρημένον ἐν τῷ Ἰεζεκιὴλ περί τινος διὰ τὴν κακίαν μεταβεβληκότος εἰς τὸ γενέσθαι αὐτὴν ἀπώλειαν, καθ' ὁμοιότητα* παραμυθήσει καὶ τὸ περὶ τοῦ ψεύδους *εἶναί τινα τῇ ὑποστάσει οὐκ κατασκευῆς, ἀλλ' οὐκ μεταβολῆς, καὶ ἰδίας προαιρέσεως, τοιοῦτον δὲ γε- B γενημένον, καὶ οὕτως, ἵνα καινῶς ὀνομάσω, πεφυσιωμένον· φεύγων γοῦν τις ὡς ἄτοπον τὸ φάσκειν εἶναι ψεῦδος τὸν ἀντίχριστον, ἐρεῖ καὶ πᾶσιν ἐφαρμόζειν τοῖς ψευδομένοις τό· ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ· τὸ γὰρ ἐν ἑκάστῳ τῶν ψευδομένων ψεῦδος ἐπὰν λαλῇ, ἐκ τῶν ἰδίων τοῦ ψεύδους λαλεῖ· ἀλλὰ καὶ τό· ψεύστης ἐστὶν ὁ πατὴρ αὐτοῦ, ἀνενέγκῃ ἐπὶ τὸ ἕκαστον τὸ προφερόμενον ψεῦδος ἐκ στόματος ἑαυτοῦ πατέρα εἶναι οὗ λαλεῖ ψεύδους, καὶ οὐκ ἀπί- C θανός τε ἔσται ἡ τοιαύτη ἀπόδοσις· καὶ ταῦτα μὲν ὡς παρακείμενα τῇ ἀμφιβολίᾳ τοῦ ἐκκειμένου ἡμῖν *ἐκ τοῦ εἰρῆσθαι· ἐπεὶ δὲ διηγούμενοι τό· ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν, προλαβόντες καὶ εἰς τοῦτο εἰρήκαμεν, πολλαχόθεν τὰ φανέντα ἡμῖν εἰς τὴν διήγησιν χρήσιμα συναγαγόντες, οὐκ εὐλόγως νῦν προσδιατρίψομεν τῷ τόπῳ· πλὴν εἴ τις τῷ ποιεῖν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου γεγέννηται, καὶ μὴ κατήργησε τὴν ἀπ' ἐκείνου γένεσιν ἐξ ἑαυτοῦ, οὗτος οὐ μίαν, ἀλλὰ D πλείονας ἐπιθυμίας τοῦ τοιούτου πατρὸς ποιεῖν ἐθέλει, καὶ τῶν ἐν παντὶ υἱῷ διαβόλου ἐπιθυμιῶν ἀπὸ τῶν ἐν τῷ διαβόλῳ ἐπιθυμιῶν γινομένων, σαφὲς ὅτι αἱ ἐκείνου ἐπιθυμίαι φρόνημα ὕλης εἰσὶ καὶ φθορᾶς, ἃς κυρίως ἔχθρας εἴποι τις ἂν εἶναι πρὸς θεόν· φόνους μὲν οὖν καὶ ἀδικίας, καὶ πλεονεξίας *φάσκειν εἶναι τὰς ἐκείνου ἐπιθυμίας, γεννώσας ἐν υἱοῖς αὐτοῦ παραπλησίως ταύτας ἐπιθυμίας, οὐκ ἀπεμφαίνει, ἀλλὰ καὶ γενικῶς ἀκαθαρσίας τῇ φύσει ἐναντίας τυγχα- E νούσας τῇ καθαρότητι λέγειν εἶναι τὰς ἐκείνου ἐπιθυμίας, ἀφ' ὧν αἱ πρὸς τὰ ἀκάθαρτα ἐπιθυμίαι γίνονται τέκνοις τοῦ διαβόλου, οὐ δυσπαράδεκτόν ἐστι τόδε. καὶ πορνείας λέγειν εἶναι τὴν ἐκείνου ἐπιθυμίαν, ἢ μοιχείας, ἢ παιδοφθορίαν, ἢ μαλακότητα* οὐκ ὀκνηρῶς ἄν τις παραδέξοιτο· κἂν ἀπορῇ πῶς αἱ ἐπιθυμίαι

* γ. παραμυθήσ. Fer.
* γ. ἐκ τῆς. Fer. & Per.
* γ. ἐκ τοῦ ἐστιν.
* γ. φάσκειν.
* γ. ἐν χερσί. Fer.

pater, qui Diabolus est. Sed consentaneum est aliquem offensum iri, eo quod dixerimus Antichristum esse mendacium: vituperabilem non amplius futurum, si hypostasi, & essentia nil aliud sit mendacium: contra quem cum attuleris in medium illud: *Perditio factus es, & non eris in seculum*, quod in Ezechiele dictum est de quodam, qui propter vitium immutatus fuerat, ut esset ipsa perditio, tu similiter etiam proferes aliquem non esse natura mendacium, ex creatione, sed ex mutatione, & proprio proposito tal[em] factum fuisse, & sic, ut nove dicam, naturatum. Quamobrem non fugiens quis ceu absurdum dicere Antichristum mendacium esse, dicet omnibus etiam congruere mentientibus hoc dictum: *Cum loquitur mendacium, ex proprijs loquitur.* Cum enim mendacium, quod in singulis mentientibus inest, loquitur, ex proprijs mendacis loquitur. Quinetiam si referas hæc verba: *Mendax est, & pater eius*, ad vnumquenque proferentem mendacium ex suo ipsius ore, dicasque hunc esse patrem eius mendacij, quod loquitur, huiusmodi sane assignatio absurda non erit. Sed dicta hæc sunto veluti adiacentia amphiboliæ contextus nobis expositi. [Sequitur *Et desideria patris vestri vultis facere.*] Enarrantes illa verba: *Vos opera patris vestri facite*, antevertimus etiam in hoc disserere; frequenter alioqui colligentes quæ nobis utilia visa fuerant ad enarrationem. Proinde sine causa nunc hoc in loco non immorabimur: nisi quod ortus fuerit aliquis ex Diabolo, eo quod committat peccatum, & hunc ab illo ortum non aboleverit, hunc non vnum, sed plura desideria talis patris velle facere: cumque desideria quæ sunt in omnibus filijs Diaboli nascantur à desiderijs, quæ sunt in Diabolo, perspicuum est desideria illius esse prudentiam materiæ, & corruptionis, quas proprie inimicas dixerit aliquis esse aduersus Deum. Atque cædes quidem, & iniustitias, & auaritiam, si quis dicat illius esse desideria, quæ generent desideria his similia in filijs eius, non dissentanea loquitur: atque etiam generaliter dicere immunditias, naturæ illi purissimæ contrarias existentes, esse illius desideria, à quibus desideria ingenerentur Diaboli filijs ad res immundas, non gravate admittendum est: dicere etiam fornicationem, vel adulterium, vel amorem obscœnum in pueros, vel mollitiem, esse illius desiderium, facile quis etiam admiserit. Quod si dubitet quis, quonam pacto hæc

Ezech. 28. 19.

desideria in hominibus oriantur à desiderijs quæ sunt in illo, quantum ad verba attinet, veluti quiddam universale doceatur de desiderijs quæ sunt in hominibus, quod velint homines desideria patris sui facere; quia omnia quæ præter legem desiderant, antea fuerint desiderium patris sui; tale enim est quod dicitur: *Desideria patris vestri vultis facere*, ad hunc dicendum est Diabolum desiderare vt corrumpatur, verbi gratia, hic puer, illa adulterium committat, hi fornicentur; & hæc desiderando ingenerare his qui valent illi obsequi desiderium faciendi, quæ ille cupiat effici: ut hac ratione dicat aliquis Diabolum committentem fornicationem, aut adulterium, prius fornicacari, & prius adulterium committere, quam hominem. Idem etiam dices de omni peccato: verbi gratia, Diabolus argentum non desiderat, at amat argenti cupidos facere; facereque homines rerum materialium affectibus obnoxios: quod ipsius desiderium facere volunt hi qui argentum non aliter quam voluntate amant. Quamobrem omnia quæ acturi sumus, inspiciamus oportet, & examinemus, ne forte quod facere volumus, sit ex desiderijs Diaboli: ut cum viderimus Diaboli desideria, desinamus velle ea facere; scientes omnem, qui Diaboli desideria facere voluerit, ex Deo patre haudquaquam esse posse, sed factum fuisse Diaboli filium, atque etiam formatum & factum ad imaginem mali patris, eo quod velit peioris desideria facere, à quo proficiscuntur, formanturque terrestris illius imagines: primus enim terrenus ille, eo quod primus delapsus fuerit à rebus melioribus, & desiderauerit alteram vitam, præter vitam præstantionem, dignus factus fuit, ut esset principium non creaturæ, non operis, sed figmenti Domini; factus ut illuderetur ab Angelis eius. Nostra vero principalis substantia in ea parte est, quæ ad similitudinem est Creatoris. Altera vero ex culpa in figmento, quod è puluere terræ est sumptum. Atque equidem si obliti veluti substantiæ melioris quæ in nobis est, ei figmento quod est è pulvere, subdiderimus nos ipsos, pars etiam præstantior imaginem terreni sumet; sin vero intelligentes quod factum est ad imaginem, & quod sumptum est è pulvere terræ, inclinauerimus ad hunc, ad cuius imaginem facti sumus, erimus etiam ad similitudinem Dei; omni affectione erga materiam, & erga corpora, atque etiam erga aliquem eorum qui

A αὐτοῖς ἐν ἀνθρώποις ἀπὸ τῶν ἐν ἐκείνῳ γίνονται ἐπιθυμιῶν, ὅσον ἐπὶ τῇ λέξει, οἱονεὶ καθολικοῦ τινος δογματιζομένου περὶ τῶν ἐν ἀνθρώποις ἐπιθυμιῶν, ὡς ἄρα θέλουσιν οἱ ἄνθρωποι τὰς ἐπιθυμίας τοῦ πατρὸς αὐτῶν ποιεῖν, ὥστε πάντα ἃ ἐπιθυμοῦσι παρανόμως, πρότερον ἐπιθυμίας εἶναι τοῦ πατρὸς αὐτῶν. τοιοῦτον γάρ ἐστι τό· καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν. λεκτέον δὲ πρὸς ταῦτα ὅτι ὁ διάβολος ἐπιθυμεῖ φθαρῆναι τόνδε, φέρε εἰπεῖν, τὸν παῖ-
B δα, καὶ μοιχευθῆναι τήνδε, καὶ πορνεῦσαι τούσδε. καὶ τούτων ἐπιθυμῶν ἐμποιεῖ τοῖς δυναμένοις αὐτῷ ὑπηρετήσασθαι ἐπιθυμίαν τοῦ ποιῆσαι, ἅπερ ἐκεῖνος ἐνεργηθῆναι βούλεται, ὥσπερ ἂν κατὰ τοῦτο τὸν ἐνεργοῦντα τὴν πορνείαν, ἢ τὴν μοιχείαν πρότερον λέγειν τοῦ ἀνθρώπου πορνεύειν καὶ μοιχεύειν. τὸ δ' αὐτὸ καὶ περὶ πάσης ἁμαρτίας ἐρεῖς, οἷον διάβολος ἀργυρίων μὲν οὐκ ἐπιθυμεῖ, ἐπιθυμεῖ δὲ φιλαργύρους ποιῆσαι καὶ προσπαθεῖς τοῖς ὑλικοῖς πράγμασι. ταύτην δὲ τὴν
C ἐπιθυμίαν αὐτοῦ θέλουσι ποιεῖν οἱ οὐκ ἄλλως ἢ τῷ θέλειν φιλοῦντες τὸ ἀργύριον. διόπερ ἀναγκαῖόν ἐστιν ἐφιστάνειν ἡμᾶς πᾶσιν οἷς θέλομεν ποιεῖν, καὶ ἐξετάζειν, μήποτε ὃ θέλομεν ποιεῖν ἐκ τῶν τοῦ διαβόλου ἐπιθυμιῶν ἐστιν. ἵνα ἐκ τοῦ τεθεωρηκέναι τὰ ἐκ τῶν τοῦ διαβόλου ἐπιθυμιῶν, παυσώμεθα θέλειν ποιεῖν ἐκεῖνα, εἰδότες πάντα τὸν θέλοντα ποιεῖν τὰς τοῦ διαβόλου ἐπιθυμίας, ἐκ πατρὸς μὲν οὐδαμῶς εἶναι θεοῦ, διαβόλου δὲ γεγονέναι τέκνον, καὶ ἀπὸ τοῦ θέλειν
D ποιεῖν τὰς ἐπιθυμίας τοῦ χείρονος, μορφούμενον, καὶ κατ' εἰκόνα γινόμενον τοῦ πονηροῦ πατρὸς ἀφ' οὗ ἔρχονται, καὶ τυποῦνται οἱ ἐκείνου τοῦ χοϊκοῦ εἰκόνες. πρῶτος γὰρ χοϊκὸς ἐκεῖνος τῷ πρῶτος ἀποπεπτωκὼς τῶν κρειττόνων, καὶ ἐπιτεθυμηκὼς ἑτέρας παρὰ τὴν κρείττονα ζωῆς ζωήν, ἄξιος γεγονέναι τοῦ ἀρχὴν αὐτοῦ εἶναι, οὐ κτίσματος, οὐ ποιήματος, ἀλλὰ πλάσματος κυρίου, πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων αὐτοῦ· καὶ ἡμῶν δὲ ἡ προηγουμένη ὑπόστασίς ἐστιν ἐν τῷ κατ' εἰκόνα τοῦ κτίσαντος· ἡ δὲ ἐξ
E αἰτίας ἐν τῷ ληφθέντι ἀπὸ τοῦ χοῦ τῆς γῆς πλάσματι· καὶ εἰ μὲν ὥσπερ ἐπιλαθόμενοι τῆς ἐν ἡμῖν κρείττονος οὐσίας, ὑποτάξομεν ἑαυτοὺς τῷ ἀπὸ τοῦ χοῦ πλάσματι, καὶ τὸ κρεῖττον τὴν εἰκόνα καὶ τὸ ληφθὲν ἀπὸ τοῦ χοῦ τῆς γῆς, ὅλοι προσνεύσομεν ἐπὶ τοῦτον, οὗ κατ' εἰκόνα γεγόναμεν, ἐσόμεθα καὶ καθ' ὁμοίωσιν θεοῦ, πᾶσαν τὴν πρὸς ὕλην καὶ σώματα προσπάθειαν, καὶ τὴν πρός τινα τῶν καθ' ὁμοίωσιν ἀπο-

* γρ. ἡ — ἀνειλήφαμεν· ἐπεὶ δὲ κατὰ τὰς θείας γραφὰς * ἡ ἐπιθυμία τῶν μέσων ἐστὶν, οὐκ εἰδυίας τὴν ἑλληνικὴν τῶν σημαινομένων παρὰ τοῖς τὰ τοιαῦτα διαφοροῦσιν ἀκρίβειαν, ὥστ' ἂν τὸ μὲν ἀστεῖον, βούλησιν ὀνομάσαι, ἣν ὁρίζονται εὔλογον ὄρεξιν. τὸ δὲ φαῦλον, ἐπιθυμίαν, ἣν φασὶν εἶναι ἄλογον ὄρεξιν, ἢ σφόδραν ὄρεξιν, λεκτέον ὅτι πᾶσα γεννητὴ φύσις τὰς ἐπιθυμίας τοῦ ἰδίου πατρὸς θέλει ποιεῖν, ὥσπερ καὶ πᾶσα ποιεῖ τὰ ἔργα τοῦ ἰδίου πατρὸς, τοῦ μὲν * πρώτως ἁγίου πατρὸς ἀγεννήτου τυγχάνοντος. οὗτος δέ ἐστιν B ὁ θεός. τοῦ δὲ * πρώτως πονηροῦ πατρὸς, ἐξ οὐδενὸς ὄντος πατρὸς, οὐδεὶς γὰρ ὑπέστησέ τις ἐν αὐτῷ πατὴρ τὴν πονηρίαν, ἀλλ' ἡ ἀπὸ θεοῦ ἐκτροπὴ γεγέννηκεν αὐτήν· τὸ μὲν οὖν νῦν ἐξεταζόμενον κατὰ τό· καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν, σαφῶς ὅτι ἀναφέρεται πρὸς τὸν διάβολον, προειρημένου τοῦ· ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ καὶ ἐπιφερομένου τοῦ· ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς. καὶ πρὸς ἕκαστον δ' ἂν οὐ μόνον τῶν ἐκ τοῦ δια- C βόλου, ἀλλὰ καὶ τῶν ἐκ τοῦ θεοῦ, ὑγιῶς λεχθείη τό· τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν· λέγονται γάρ τινες εἶναι τοῦ θεοῦ ἐπιθυμίαι, ὀνομαζομένων αὐτοῦ τῶν βουλήσεων· ἐν γοῦν ιη ψαλμῷ εἴρηται· τὰ κρίματα τοῦ θεοῦ ἀληθινά, δεδικαιωμένα ἐπὶ τὸ αὐτό, ἐπιθυμητὰ ὑπὲρ χρυσίον, καὶ λίθον τίμιον πολύν· κἄν, ὥς τινα δὲ τῶν ἀντιγράφων ἔχει, ᾖ· τὰ ἐπιθυμήματα ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν, φήσεις ὅτι

* γρ. ἐπιθυ-μητὰ — τὰ * ἐπιθυμήματα τοῦ ἐπιθυμῆσαί τινα αὐτῶν ἄξιά D ἐστιν, ὡς τὰ εὐλογητὰ τοῦ εὐλογεῖσθαι, καὶ τὰ ἀγαπητὰ

* γρ. εὐλο-γητὰ — τοῦ ἀγαπᾶσθαι· ὥσπερ οὖν τὰ * εὐλογήματα μᾶλλον ὑπὸ θεοῦ εὐλογεῖται, καὶ τὰ ἀγαπη-

* γρ. ἐπιθυ-μητὰ — τὰ μᾶλλον ὑπὸ θεοῦ ἀγαπᾶται, οὕτω καὶ τὰ * ἐπιθυμήματα μᾶλλον ἂν ὑπὸ θεοῦ εὐλογώτερον ἐπιθυμηθείη, εὐγνωμονέστερον ἡμῶν ἀκουόντων, ὡς προειρήκαμεν, τῆς ἐπιθυμίας. καὶ ὁ σωτὴρ δέ φησιν· ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν, πρὸ τοῦ με παθεῖν· περὶ E δὲ τοῦ καὶ φαύλην εἶναι ἐπιθυμίαν ἀρκεῖ μὲν τὸ ἐν χερσὶ ῥητόν. οὐδὲν δὲ ἧττον παραθετέον καὶ τό· ὃς ἂν ἐπιβλέψῃ γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτήν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ· οὐ πάντως δὲ ὁ ἐπιθυμῶν ἀπόντος ἐπιθυμεῖ, ὡς οὐδὲ ὁ βουλόμενος πάντως τὰ ἀπόντα βούλεται· τοῦτο δὲ προσεπιτεθεασάμενοι

A sunt ad similitudinem, abolita. Quoniam autem ἐπιθυμία [ hoc est desiderium ] indifferens est in Scripturis diuinis, non agnoscentibus accuratam vocabulorum significationem à Gentibus qui diligenter differuere traditam, qui τὸ ἀστεῖον [ hoc est, quod industrium, studiosumque est ] nominent βούλημα [ hoc est voluntatem ] eam definientes appetitum rationi consentaneum; quod vero malum est, ἐπιθυμία, [ hoc est desiderium, ] quod dicunt esse B appetitum à ratione alienum, vel vehementem appetitum; dicendum est omnem naturam genitam desideria patris sui velle facere: quemadmodum etiam omnis natura facit opera patris sui; in primis quidem illius patris sancti, ingeniti existentis, qui est Deus; illius vero in primis mali patris, qui ex nullo est patre: quippe in quo nullus pater effecerit, ut subsisteret pravitas, sed aversio à Deo genuerit eam. Quod igitur nunc examinatum à nobis est, nem- C pe, *Vos desideria patris vestri vultis facere,* perspicuum est ad Diabolum referri, cum superius dictum sit: *Vos ex patre* Ioh. 8. 44.
*Diabolo estis*, & subiungatur: *Ille homicida erat ab initio.* Quinetiam ad vnumquemque, siue is fuerit ex Diabolo, siue ex Deo, recte dicetur: *Vos desideria patris vestri vultis facere.* Dicuntur enim etiam Dei quædam esse desideria; isto modo sic dictis voluntatibus ipsius: unde in xviij psalmo dictum est: *Indi-* Psal. 18. 10, 11.
*cia Domini vera, simulque iusta desideria: super aurum, & lapidem pretiosum* D *multum.* Quod si legas: *desiderabilia super aurum, & lapidem pretiosum multum*, ut quædam habent exemplaria; dices desiderabilia digna esse ut aliquis desideret ea; sicut laudabilia, ut laudentur; & diligibilia, ut diligantur. Vt igitur benedicta magis à Deo benedicuntur, & diligibilia magis à Deo diliguntur; sic etiam desiderabilia rationabilius multo à Deo desiderantur: candidius, & in E bonam ( vt diximus superius ) partem accipientes ἐπιθυμίας, [ hoc est desiderium ] dicente etiam Seruatore: *Desiderio desideraui hoc pascha manduca-* Luc. 22. 15.
*re vobiscum, antequam patiar.* Quod vero etiam in malam partem sumatur desiderium, etiam si sufficere potest præsens contextus quem nunc tractamus; nihilominus tamen ille etiam addendus est: *Qui inspexerit mulierem ad* Matt. 5. 28.
*desiderandum eam, iam adulterium in corde suo cum ea commisit.* Porro qui desiderat, non omnino id quod abest desiderat; quemadmodum neque qui vult, is omnino absentia vult. Hoc autem

præmuniuimus, propter desideria Dei, & perfectorum desideria. Quisquis ergo alicuius filius fuerit, is etiam patris sui desideria vult facere; suique patris opera facit. [ Sic enim etiam Seruator, & Patris sui desideria vult perficere, & eiusdem opera perficit. Itemque peccati filius, & perditionis filius patris sui cupiditatibus obedire vult, patrisque sui opera efficit: ] omninoque in potestate nostra qui sumus homines, vel Dei, vel Diaboli sumus opera: & quæ facere volumus, vel desiderium est patris nostri boni cœlestis, vel Diaboli, qui est inimicus illi: & si quidem facimus opera Dei, volumusque eius desideria facere, filij sumus Dei: sin quæ Diaboli sunt agimus, volentes quæ ille desiderat facere, ex patre Diabolo sumus. Quamobrem inspiciamus non solum quæ agimus, verum etiam quæ volumus. Vt enim aliquis sit Diaboli filius, sufficit vel solum velle illius desideria facere: & fortassis etiam hac de causa post illud: *Vos facitis opera patris vestri*, dictum est: *Vos desideria patris vestris vultis facere*: vt hinc discamus nos esse Diaboli filios, si vel solum velimus facere quæ Diabolus desiderat. At aptissime quis ad hæc diceret sufficere etiam, ut simus filij Dei, velle desideria illius facere, etiam si opera illius non faciamus: sed dicendum est quod necesse sit ei qui velit desideria Dei facere, ut etiam faciat opera Dei: non enim solum velle, verum etiam operari (ut inquit Paulus) ex Deo: cum hoc bonum velle sequatur omnino operatio, veluti sua (ut ita dicam) coniux: *Diligentibus enim Deum omnia cooperantur in bonum*: nec Deus omnino bonum velle, imperfectum sinet, qui facit omnia opera valde bona. Quin ne excogitari quidem potest bonum velle, non coniuncta in tali voluntate operatione bona bono velle. Sane operatio velle coniuncta est, etiam si plerunque rationi conuenienter impediatur à prouidentia, quando pro aliqua universali utilitate, vel pro qualicunque utilitate, opus est interrumpi opus malum, secundum voluntatem. Sed in hæc inquit Heracleon: Hi, ad quos est sermo, ex substantia Diaboli erant: perinde quasi Diaboli substantia diversa sit ab essentia sanctorum Angelorum rationis compote. Ac mihi simile quiddam in hoc passus fuisse videtur, atque ille qui diversam essentiam dicit esse oculi sani, & oculi perperam videntis; & alteram esse essentiam audi-

*Hæc à Ferrario prætermissa è Perionio supplevimus.*

*Philip. 2. 13.*

*Rom. 8. 28.*

A διὰ τὰ* ἐπιμήματα τοῦ θεοῦ, καὶ τὰς τῶν τελείων ἐπιθυμίας. πᾶς οὖν υἱός τινος τὰς ἐπιθυμίας τοῦ πατρὸς ἑαυτοῦ θέλει ποιεῖν, καὶ πᾶς υἱός τινος ποιεῖ τὰ ἔργα τοῦ πατρὸς αὐτοῦ. οὕτω γὰρ καὶ ὁ σωτὴρ τὰς ἐπιθυμίας τοῦ πατρὸς ἑαυτοῦ θέλει ποιεῖν, καὶ ποιεῖ τὰ ἔργα τοῦ πατρὸς ἑαυτοῦ. καὶ ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας τὰς ἐπιθυμίας τοῦ πατρὸς ἑαυτοῦ θέλει ποιεῖν, καὶ ποιεῖ τὰ ἔργα τοῦ πατρὸς ἑαυτοῦ. καὶ ἐφ' ἡμῶν δὲ τῶν ἀνθρώπων πάντως τὰ ἔργα, ἤτοι θεοῦ ἐστιν,

B ἢ διαβόλου, καὶ ἃ θέλομεν ποιεῖν, ἤτοι ἐπιθυμία ἐστὶ τοῦ ἀγαθοῦ ἐν οὐρανοῖς πατρὸς ἡμῶν, ἢ τοῦ ἐχθροῦ αὐτοῦ διαβόλου. καὶ εἰ μὲν ποιοῦμεν τὰ ἔργα τοῦ θεοῦ, καὶ θέλομεν τὰς ἐπιθυμίας αὐτοῦ ποιεῖν, υἱοί ἐσμεν τοῦ θεοῦ. εἰ δὲ τὰ τοῦ διαβόλου πράττομεν, θέλοντες ἃ ἐκεῖνος ἐπιθυμεῖ ποιεῖν, ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐσμέν. ἐπιστήσωμεν οὖν μὴ μόνον οἷς ποιοῦμεν, ἀλλὰ καὶ οἷς θέλομεν. αὐτάρκες γὰρ εἰς τὸ εἶναι τοῦ διαβόλου υἱόν, τό, κἂν θέλειν αὐτοῦ ποιεῖν

C τὰς ἐπιθυμίας. καὶ τάχα διὰ τοῦτο μετὰ τό· ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν, εἴρηται τό· τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν, ἵνα μάθωμεν ὅτι εἰ καὶ μόνον θέλομεν ποιεῖν ἅπερ ἐπιθυμεῖ ὁ διάβολος, χρηματίζομεν διαβόλου υἱοί. πιθανώτατα δ' ἄν τις πρὸς ταῦτα λέγοι, ὡς ἄρα ἀρκεῖ πρὸς τὸ εἶναι υἱοὶ θεοῦ τὸ θέλειν αὐτοῦ ποιεῖν τὰς ἐπιθυμίας, κἂν μὴ προσῇ τούτῳ ποιεῖν τὰ ἔργα τοῦ θεοῦ. ἀλλὰ λεκτέον ὅτι ἀνάγκη τὸν θέλοντα ποιεῖν τὰς ἐπιθυ-

D μίας τοῦ θεοῦ, καὶ ποιεῖν τὰ ἔργα τοῦ θεοῦ, οὐ γὰρ μόνον τὸ θέλειν, ἀλλὰ καὶ τὸ ἐνεργεῖν, ὥς φησιν ὁ Παῦλος, ἐκ τοῦ θεοῦ ἐστιν, ἑπομένου πάντως τῷ καλῷ θέλειν τοῦ συζύγου* αὐτοῦ ἐνεργεῖν. καὶ γὰρ τοῖς ἀγαπῶσι τὸν θεὸν πάντα * συνεργεῖν εἰς ἀγαθόν, καὶ οὐκ ἂν καλὸν θέλειν ἀτελὲς ἐάσαι ὁ ποιῶν πάντα καλὰ λίαν. ἀλλ' οὐδὲ ἐπινοηθῆναι δύναται καλὸν θέλειν μὴ συνεζευγμένης τῆς κατὰ τὸ οὕτω θέλειν ἐνεργείας καλῆς τῷ καλῷ θέλειν. ἡ μέντοιγε πρὸς τῷ θέλειν ἐνέργεια, κἂν ἐμποδίζοιτο ὑπὸ τῆς προ-

E νοίας εὐλόγως πολλάκις, ὅτε ὑπέρ τινος καθολικῶς χρησίμου, ἢ ὅπως ποτὲ χρησίμου χρεία ἀνακόπτεσθαι τὸ κατὰ τὸ θέλειν τὸ χεῖρον ἔργον. εἰς ταῦτα δὲ ὁ Ἡρακλέων φησὶ πρὸς οὓς ὁ λόγος, ἐκ τῆς οὐσίας τοῦ διαβόλου ἦσαν, ὡς ἑτέρας οὔσης τῆς τοῦ διαβόλου οὐσίας παρὰ τὴν τῶν ἁγίων λογικῶν οὐσίαν. ὅμοιον δὲ ἐν τούτῳ μοι πεπονθέναι φαίνεται τῷ ἑτέραν οὐσίαν φάσκοντι ὀφθαλμοῦ παρορῶντος, καὶ ἑτέραν ὁρῶντος. καὶ ἑτέραν οὐσίαν ἀκοῆς παρακουούσης, καὶ ὑγιῶς ἀκουούσης.

* χ. θελήματα

* χ. αὐτῷ

* χ. συνεργεῖ

κινούσης· ὡς γὰρ ἐν τούτοις οὐχ ἡ οὐσία διάφορος, ἀλλά τι αἴτιον ἐπισυμβέβηκε τῷ παρακούειν, καὶ τῷ παρορᾶν, οὕτως παντὸς τοῦ πεφυκότος λόγῳ παρακολουθεῖν ἡ παρακολουθητικὴ οὐσία ἡ αὐτή ἐστιν, εἴτε παραδέχεται τὸν λόγον, εἴτε ἀνανεύει πρὸς αὐτόν· τί γὰρ διαφέρει ἐφ' ἡμῶν τῶν ἀνθρώπων τὸ παρακολουθῆσαν τοῦ μὴ παρακολουθήσαντος, οὐκ ἂν ἔχοιμεν εἰπεῖν, εἰ καὶ μετὰ τὸ συνιέναι τῶν εἰρημένων, ὁ μέν τις ἐπικρίνας συγκατέθετο τῷ λεγομένῳ, ὁ δὲ ἀνένευσε πρὸς αὐτό· πολλάκις δὲ * εἴποιμεν ὅτι ἐὰν συγχωρηθῇ τοῦτο τὸ ἀδύνατον, λέγω δὲ τὸ εἶναι οὐσίας ἑτέρας, καὶ ἀνεπίδεκτον τῶν κρειττόνων τὸν διάβολον, περὶ μὲν ἐκείνου ἀπολογησόμεθα, ὡς οὐδαμοῦ αἰτίου τῆς πονηρίας, τὸ δὲ ἔγκλημα τῷ αὐτὸν ὑποστήσαντι καὶ δημιουργήσαντι προσάψομεν, ὅπερ ἐστὶ πάντων ἀτοπώτατον· πρόδηλον δὲ τὸ παράλογον ἔσται τῷ κατανοήσαντι ψυχῶν ἀνθρωπίνων οὐσίαν, καὶ ἐνιδόντι ὅτι ἀμήχανόν ἐστιν, ὥσπερ σώματα παρὰ σώματα εἶναι ἀνθρώπινα ἑτέρας καὶ ἑτέρας οὐσίας, οὕτω καὶ ψυχὰς παρὰ ψυχάς, καὶ νοητικὸν παρὰ τὸ νοητικόν, καὶ τὸ διανοητικὸν παρὰ τὸ διανοητικόν· τὸ δὲ ὅμοιον ἐρεῖς καὶ ἐπὶ τοῦ λογικοῦ, καὶ ἐπὶ τῶν ἐν ψυχῇ δυνάμεων, τῆς τε μνημονικῆς, καὶ τῆς οὕτως φανταστικῆς· ἀνάγκη γάρ, εἰ ἑτερούσιός ἐστιν ἄνθρωπός τις παρ' ἕτερον, καὶ ἑτερογενεῖς εἶναι τὰς τῆς ψυχῆς δυνάμεις, καὶ γὰρ ἑτερογενῆ εἶναι, φέρε εἰπεῖν, τὴν μνημονικήν, καὶ τὴν διανοητικήν, παρὰ τὴν διανοητικήν· ἐξεταζέσθω δὲ ὁ λόγος περὶ τούτων, ἃ ὁμοίως ἂν νοῆσαι καὶ διανοηθείη· ὥστε καὶ παραπλησίως συγκατατίθεσθαι, ἢ ἐπισχεῖν, ἢ ἀνανεῦσαι ὃν φασιν ἐκεῖνοι πνευματικόν, καὶ ὃν λέγουσιν εἶναι χοϊκόν, ἆρα γὰρ τὸ παραπλήσιον ἐν διαφόροις γέγονεν οὐσίαις, ἢ διὰ τοῦτο παραπλήσιον γέγονε τὸ πάθος, ἐπεὶ ὁμοούσιον ἦν τοῦτο ᾧ συμβέβηκε τὸ πάθος· τὸ μὲν οὖν φάναι τοὺς αὐτοὺς τύπους φαντασιῶν, καὶ συγκαταθέσεων, καὶ διανοήσεων, καὶ μνημονεύσεων γεγονέναι ἐν τοῖς ἑτερουσίοις ἄλογον· τὸ δὲ ἐν τοῖς ὁμοουσίοις ἐκ μέρους ὡς παρὰ ταῦτα εἶναί τινα καὶ ἄλλην οὐσίαν ἐν αὐτοῖς, ἠλίθιον· παραστησάτωσαν γὰρ παρὰ τὰς δυνάμεις ταύτας ἑτέραν τινὰ οὐσίαν μὴ νοοῦσαν, μηδὲ διανοουμένην, μηδὲ μεμνημένην, μηδὲ φανταζομένην, ἐν οἷς φασιν εἶναι πνευματικοῖς κρείττονα τῆς νοούσης, καὶ διανοουμένης. ἢ ἐν τοῖς

* εἴπωμεν. γρ.

A tus vitiati, alteram auditus sani. Vt enim in his non essentia diversa, sed causa quædam contigit, ut auditus, oculusque vitiarentur; sic cuiuscunque natura apti ad assequendam rationem essentia assecutiva, eadem est; siue rationem admittat, siue eam renuat. Quod enim in nobis hominibus differat vis illa quæ assequuta est, ab ea quæ non assequitur, haud equidem dicere queam; etiam si post dictorum intelligentiam alter quidem ea laudans acquiescat dicto, B alter vero illud renuat. At frequenter diximus, si concessum fuerit essentias esse diversas, minimeque rerum præstantium capacem Diabolum esse, futurum esse, ut ille à nobis defendatur, perinde quasi pravitatis non sit auctor: notam alioquin inusturi ei qui illum creauit, quique ipsi essentiam est largitus: id quod omnium absurdissimum est. Manifesta autem erit absurditas intuenti humanarum animarum essentiam, & inspicienti quod quemadmodum fieri nequit ut corpora humana magis quam alia hu- C mana corpora, sint alterius, & alterius essentiæ, ita fieri non posse vt animæ magis quam aliæ animæ, & res ad intellectum spectans magis, quam res ad intellectum spectans, & vis cogitandi magis quam vis cogitandi, sit alterius essentiæ. Idem dices etiam de eo quod rationis est compos, & de potentijs quæ sunt in animo; nempe de potentia memoriæ, & de potentia sic imaginandi. Si enim homo præ alio homine alterius est substantiæ, alterius quoque generis necesse est esse animæ poten- D tias, & genere (ut ita dicam) differre memoriæ potentiam, à memoriæ potentia; & discurrendi potentiam, à potentia discurrendi. Sed certis agamus, exemplo utentes eorum, quæ similiter intelligunt, & discurrunt: ita ut unus spiritualis, alter terrestris (ut illi loquuntur) similiter assentiantur, vel assensionem inhibeant, aut abnuant, utrum hæc similitudo fuit in diversis essentijs, an potius passio similis fuit, quoniam id cui contingit passio, erat ejusdem essentiæ? Atque equidem si dixerint easdem E figuras imaginationum, & assensionum, & recordationum, & discursuum factas fuisse in his quæ essentia differant, alienum est à ratione; sin vero dicent eos qui sunt eiusdem essentiæ, quandam & aliam in se habere essentiam particularem ab illis diversam, fatuum erit. Ostendant præter has potentias alteram quandam essentiam esse non intelligentem, neque considerantem, neque reminiscentem, neque imaginantem, esse in his quos spirituales appellant, & in his quos terrestres, meliorem potentia intelligendi, atque co-

gitandi, vel similem, vel peiorem: neque enim dicturi sunt meliorem. Sed consentaneum est eos dicturos, quemadmodum contingit, ut ex eodem sigillo similiter imprimatur dissimilis essentia, puta auri, argenti, stanni, plumbi, & ceræ, sic facile factu esse ut ex iisdem imaginationibus imprimantur figuræ in diuersas essentias habentibus, & imaginantibus, simile etiam de discursu, de intelligentia, & reminiscentia dicturi. At vide ne forte, etiam si admodum persuasibilis hæc videatur oratio, corripere magis, ac decipere sic collata possit, quam persuadere illi qui exemplum accurate annotarit. Ac de imagine illud quidem possum ostendere quod figura in auro, qua ratione figura est, similis illi figuræ quæ est in argento, proprietatem ostendat, cur facta sit potius in auro, quàm impressa sit in argento, vel in cæteris materijs. Quare vicissim nobis ostendant illi proprietatem eius quod admisit majorem figuram vel minorem, vel infimam, ac tentent saltem nugari, ac circumloqui diuersam essentiam figurarum suscipientium similiter impressionem: quod cum exhibuerint, enuntiabunt quidem, sed non demonstrabunt. Hactenus de Heracleone, qui exposuit, *Ex patre Diabolo*, pro eo quod est, ex substantia patris Diaboli: qui rursus in hoc dictum, *Desideria patris vestri vultis facere*, disputat dicens Diabolum non habere voluntatem, sed desideria: cuius dicti absurditas apparet ex se, dum omnibus in confesso est illum mala velle. Colliges etiam tu ipse (etiam si in præsentia non sit nobis ad manus, quod in medium adducamus,) an alicubi in Scriptura positum sit vocabulum, velle, de Diabolo. Inquit etiam post hæc Heracleon hæc dicta fuisse, non ad terrenos natura existentes Diaboli filios, sed ad eos qui sunt animales, factos Diaboli filios positione: ex quibus possunt quidam natura, & positione, filij Dei esse. Inquit præterea hos fieri Diaboli, eo quod dilexerint, faciantque Diaboli desideria, cum natura huiusmodi non sint. Disputat etiam vocabulum filiorum trifariam intelligi debere: primum natura, alterum voluntate, tertium dignitate. Natura, inquiens, illud est, quod genitum est à quodam genito, quod etiam proprie filius vocatur: voluntate vero, cum quis voluntatem faciens alicuius animi sui judicio filius, cuius facit voluntatem, vocatur: postremo digni-

A χοϊκοῖς, ἤτοι ὁμοίαν, ἢ χείρονα. οὐδὲ γὰρ φήσουσι κρείττονα· ἀλλ' εἰκὸς αὐτοὺς ἐρεῖν ὅτι ὥσπερ ἐνδέχεται ἀπὸ τῆς αὐτῆς σφραγῖδος ὁμοίως τυπωθῆναι τὴν ἀνόμοιον οὐσίαν χρυσοῦ καὶ ἀργύρου, καὶ κασσιτέρου, καὶ μολίβδου, καὶ κηροῦ, οὕτω δυνατὸν ἀπὸ τῶν φαντασιῶν τοὺς παραπλησίους ἐγγίνεσθαι τύπους τοῖς ἐν διαφόροις οὐσίαις τυγχάνουσι, καὶ φαντασιουμένοις, τὸ δ' ὅμοιον καὶ ἐπὶ διανοίας, καὶ νοήσεως, καὶ μνημονεύσεως φήσουσιν· ἀλλ' ὅρα μήποτε, κἂν πάνυ B πιθανὸς εἶναι ὁ λόγος οὗτος δοκῇ, συναρπάζειν μᾶλλον, ἢ σοφίζεσθαι δύναται* οὐ ὁμοίως παραβεβλημένος, εἴ γε πείθει τὸν ἀκριβῶς τῷ παραδείγματι ἐπιστήσαντα· ἐπὶ μὲν γὰρ τῆς εἰκόνος ἔχω δεῖξαι* ὅτι ἐν χρυσῷ ὁ τύπος ὁ ἐν ἀργύρῳ, ᾗ μὲν ὁ τύπος, παραπλήσιος δείκνυται τὴν ἰδιότητα τοῦ ἐν χρυσῷ γεγονέναι, παρὰ τὸ ἐν ἀργύρῳ τετυπῶσθαι, ἢ ταῖς λοιπαῖς ὕλαις· οὕτω τοίνυν ἡμῖν παραστησάτωσαν ἰδίωμα τοῦ δεξαμένου τύπον κρείττονα, ἢ ἐλάττονα, C ἢ ὑποδεέστερον, καὶ πειραθήτωσαν κἂν περιλαλῆσαι τὴν τῶν δεξαμένων τὴν ἀνάμαξιν τῶν τύπων παραπλησίως διάφορον οὐσίαν. μὴ γὰρ παριστάντες ἀποφανοῦνται μὲν, οὐκ ἀποδείξουσι δέ· τοσαῦτα καὶ πρὸς τὸν Ἡρακλέωνος λόγον εἰπόντος τό· ἐκ τοῦ πατρὸς τοῦ διαβόλου, ἀντὶ τοῦ, ἐκ τῆς οὐσίας τοῦ πατρὸς, εἰρῆσθαι· πάλιν εἰς τό· τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν, διαστέλλεται λέγων τὸν διάβολον μὴ ἔχειν θέλημα, ἀλλ' ἐπιθυμίας, καὶ ἐμφαί- D νεται αὐτόθεν τὸ* διαπίπτον τοῦ λόγου. θέλειν γὰρ* τὰ πονηρὰ πᾶς ἄν τις ὁμολογήσαι ἐκεῖνον· συνάξεις δὲ καὶ αὐτὸς, εἰ ἐπὶ τοῦ παρόντος ἐν προχείρῳ οὐκ ἔχοιμεν παραθέσθαι εἴ που ἐν τῇ γραφῇ τὸ θέλειν ἐπὶ τοῦ διαβόλου τέτακται· μετὰ ταῦτά φησιν ὁ Ἡρακλέων ὡς ἄρα ταῦτα εἴρηται, οὐ πρὸς τοὺς φύσει τοῦ διαβόλου υἱοὺς, τοὺς χοϊκοὺς, ἀλλὰ πρὸς τοὺς ψυχικοὺς θέσει υἱοὺς διαβόλου γινομένους· ἀφ' ὧν τῇ φύσει δύνανταί τινες καὶ θέσει υἱοὶ θεοῦ χρηματίσαι· καί E φησί γε ὅτι παρὰ τὸ ἠγαπηκέναι τὰς ἐπιθυμίας τοῦ διαβόλου, καὶ ποιεῖν, τέκνα οὗτοι τοῦ διαβόλου γίνονται, οὐ φύσει τοιοῦτοι ὄντες· καὶ διαστέλλεται ὡς ἄρα τριχῶς δεῖ ἀκούειν τῆς κατὰ τέκνα ὀνομασίας, πρῶτον φύσει, δεύτερον γνώμῃ, τρίτον ἀξίᾳ. τὸ φύσει μὲν, φησί, ἐστὶ τὸ γεννηθὲν ὑπό τινος γεννητοῦ, ὃ καὶ κυρίως τέκνον καλεῖται. γνώμῃ δὲ, ὅτε τὸ θέλημά τις ποιῶν τινος διὰ τὴν ἑαυτοῦ γνώμην, τέκνον ἐκείνου οὗ ποιεῖ τὸ θέλημα καλεῖται. ἀξίᾳ δὲ, καθ' ὃ λε-

Vide Not.

γεννᾶταί τινες γεέννης τέκνα, καὶ σκότους, καὶ ἀνομίας, καὶ ὄφεων, καὶ ἐχιδνῶν γεννήματα· οὐ γὰρ γεννᾷ, φησὶ, ταῦτά τινα τῇ ἑαυτῶν φύσει. φθοροποιὰ γὰρ, καὶ ἀναλίσκοντα τοὺς ἐμβληθέντας εἰς αὐτὰ, ἀλλ' ἐπεὶ ἔπραξεν τὰ ἐκείνων ἔργα τέκνα αὐτῶν εἴρηται· τοιαύτην δὲ διαστολὴν δεδωκὼς, οὐδὲ καθ' ὁπόσον ἀπὸ τῶν γραφῶν παρεμυθήσατο τὴν ἰδίαν διήγησιν· ἐροῦμεν δ' ἂν πρὸς αὐτὸν ὅτι εἰ μὴ φύσει, ἀλλὰ ἀξίᾳ γεέννης τέκνα ὀνομάζεται, καὶ σκότους, καὶ ἀνομίας. φθοροποιὰ γὰρ ταῦτα, καὶ ἀναλίσκοντα μᾶλλον, ἤπερ συνιστάντα, πῶς ὁ παῦλός φησί που τό· ἤμεθα φύσει τέκνα ὀργῆς ὡς καὶ οἱ λοιποί; ἢ λεγέτωσαν ἡμῖν ὡς οὐκ ἔστιν ἀναλωτικὸν, καὶ μάλιστα κατ' αὐτὸν φθοροποιὸν, ἧς ὀργῆς τέκνα ἤμεθα· πάλιν φησὶν ὅτι τέκνα τοῦ διαβόλου νῦν λέγει τούτους, οὐχ ὅτι γεννᾷ τινας ὁ διάβολος, ἀλλ' ὅτι τὰ ἔργα τοῦ διαβόλου ποιοῦντες ὡμοιώθησαν αὐτῷ· πόσῳ δὲ βέλτιον περὶ πάντων τῶν τοῦ διαβόλου τέκνων τοῦτο ἀποφαίνεσθαι, ὡς ὁμοιουμένων αὐτῷ τῷ ποιεῖν τὰ ἔργα αὐτοῦ, καὶ οὐ διὰ τὴν οὐσίαν, καὶ τὴν κατασκευὴν, τὴν χωρὶς ἔργων, τέκνων διαβόλου χρηματιζόντων; ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς, καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν, ὅτι οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ· ἐπεὶ ἔστι τις κοινότερον ἀνθρωποκτόνος, ὁπωσποτε ἀπεκτονὼς ἄνθρωπον, ὅς τις ἐστὶ καὶ μέσος, καθ' ὃ καὶ ζήλῳ θεοῦ πεποίηκεν ὁ φινεὲς ἀποκτείνας τὸν ἰσραηλίτην πορνεύοντα, καὶ τὴν μαδιανῖτιν, ἀνθρωποκτόνος οὐ ψεκτὸς ῥηθήσεται, καὶ ὁ δαβὶδ ἐν ὀνόματι κυρίου τῶν δυνάμεων θεοῦ, παρὰ τάξεως ἰσραὴλ τὸν γολιὰθ, ζητητέον τὴν ἀληθινὴν ἀνθρώπου ζωὴν, καὶ τὸν ἐναντίον ταύτῃ θάνατον αὐτοῦ, ἵνα νοηθῇ ὁ ψεκτὸς ἀνθρωποκτόνος, καὶ ὅσον μὲν ἐπὶ τῆς ἱστορίας φήσεις τὸν ἀδὰμ καὶ τὴν εὔαν ὅσον οὐχ ἡμαρτήκεισαν μὴ ἀνῃρῆσθαι. ᾗ δὲ ἡμέρᾳ ἔφαγον ἀπὸ τοῦ ἀπηγορευμένου ξύλου, εὐθέως καὶ τεθνηκέναι, οὐκ ἄλλου τινὸς ἀποκτείναντος αὐτοὺς ἢ τοῦ ἀνθρωποκτόνου διαβόλου, ὅτε τὴν εὔαν διὰ τοῦ ὄφεως ἠπάτησε, καὶ ἡ εὔα δέδωκε τῷ ἀνδρὶ ἀπὸ τοῦ ξύλου, καὶ ἔφαγεν ὁ ἀνήρ· κατὰ μέντοιγε τὰ βαθύτερα τῶν δογμάτων, νοήσας τό· οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι, καὶ διηγήσομαι τὰ ἔργα κυρίου, καὶ τὸ ὑπὸ τοῦ σωτῆρος πρὸς τοὺς σαδδουκαίους ἀπορρητότατα τοῖς συνιέναι τὰ λεγόμενα δυναμένοις εἰρημένον ἐν τῷ κατὰ ματθαῖον περὶ τῆς ἀναστάσεως τῶν νεκρῶν· οὐκ ἀνέγνωτε τὸ ῥηθὲν

rent, in Euangelio à Matthæo tradito

tate, iuxta quod dicuntur quidam gehennæ filij, & tenebrarum, & iniquitatis, & serpentium, & viperarum progenies. Non enim generant hæc, inquit, talia quædam sua ipsorum natura, cum potius corrumpant, consumantque eos qui in se conjecti fuerint: sed quoniam effecerint illorum opera, eorum filij vocantur. Hanc autem differentiam cum dederit, cumque ne tantulum quidem suam narrationem ex Scripturis confirmarit, respondebimus illi, si non natura, sed dignitate vocantur gehennæ filij, & tenebrarum, & iniquitatis; nam hæc corrumpunt, consumunt, magis quam confirmant, quomodo Paulus hoc inquit: *Natura eramus filij iræ, sicut & cæteri?* Eph. 2. 3. Alioquin dicant nobis iram illam, cuius nos natura filij eramus, non consumere, & ex se maxime non corrumpere. Rursum inquit Diaboli filios à Iesu hos dici, non quod Diabolus generet, sed quod Diaboli opera facientes assimilati fuerint ipsi. At vero quanto melius est idcirco eos Diaboli filios haberi, quia illi assimiles sint faciendo opera eius, non essentiam, neque per creationem, in qua nulla sunt opera?

## TOMVS VIGESIMVSQVARTVS.

*Ille homicida erat ab initio, & in veritate non stetit, quia non est veritas in eo.* Ioh. 8. 44.

QVoniam generatim homicida est ille, qui quomodocunque interfecerit hominem qui etiam est indifferens, iuxta id quod etiam fecit Phinees qui Israelitam interfecit fornicantem, & Madianitam; & Dauid etiam absque vituperatione dicetur homicida, qui in nomine Domini Dei virtutum coram acie Israelis interfecit Goliath, quærendum est quænam sit hominis vera vita; & rursum quæ sit huius mors, veræ vitæ contraria: vt intelligamus quisnam sit vituperabilis homicida. Et quantum quidem ad historiam pertinet, dices Adam, & Euam tamdiu interfectos non fuisse, quamdiu non peccauerunt; mox vero perijsse in ea die, qua de ligno vetito comederunt: nullo alio interficiente eos, quam homicida illo Diabolo; quando Euam decepit serpentem, & Eua dedit viro de ligno, & comedit vir. Quantum vero ad profundiora dogmata, si consideraueris dictum illud: *Non moriar, sed viuam, & enarrabo opera Domini*, Psalm. 117. 17. & illud à Seruatore dictum ad Sadducæos occultissime his, qui quod dictum erat intelligere quirent, in Euangelio à Matthæo tradito de resurrectione mortuorum: *Annon* Matth. 22. 31, 32.